Ακαδημία Αθηνών / Academy of Athens

Μυστακίδου, Δαφμάριος

Festschr. Schäfer, σελ. 520.

Δαφμάριος
Ἀνδρέας

Ἐπιστολὴ Μαρτίνου Κρουσίου [27 Ἀπριλ. 1585] πρὸς Ἀνδρέαν Δαφμάριον, ἔχουσα οὕτω:

« Τίμιε κύριε Ἀνδρέα Δαφμάριε: πάλιν πέμπω τὴν ἐπιστολήν, ἣν τῇ ια' τοῦ ἄγχιστα Ἰανουαρίου Ἐνετίαζε πρὸς τὴν κυριότητά σου ἐπεπόμφειν. Ἐπαλινδρόμησε γάρ, οὐ δυνηθέντος τοῦ κομίζοντος εὑρίσκειν σου τὴν οἴκησιν. Ἔτι δὲ καὶ νῦν ἰσχύει τὰ ἐν αὐτῇ γεγραμμένα. Πέμψον μοι ὡς τάχιστα, πρὸς Χριστοῦ, τὴν ἑρμηνείαν τῶν ἐκ τοῦ Κουροπαλάτου λέξεων, ἃς πάλαι σοι ἔπεμψα. Οὐ μάτην ποιήσεις: ἀλλὰ χρυσὸν παρ-

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἐμοῦ ἀντιδέξῃ. Καὶ γράφε μοι περὶ τοῦ ἐν κοινῇ γλώσσῃ ἱστορικοῦ:
τίς, ὁ γράψας; πόθεν ἤρξατο, καὶ ποῦ λήγει: πόσαι αἱ βίβλοι αὐτοῦ:
πόσης τιμῆς ἐλαχίστης. Καὶ κατάλογον ποθὲν τῶν βιβλίων: ἃ ἐν τῇ κοι-
νῇ ἐνετυπώθη, καὶ παρ᾽ ὑμῖν [Ἐνετίῃσιν) εὑρίσκεται: ἵνα τά μοι λείποντα
κτήσωμαι. Ἔρρωσο ἐν τῷ σωτῆρι ἡμῶν, τιμαλφὴς κεφαλή. Tybingae
27 April. 1585. Μαρτῖνος Κρούσιος, ὁ σός.

» M. Martinus Crusius, Tybingae, utriusque linguae Professor. »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ